*θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων*
*θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι.*
p. 163 | *ὦ νέοι, ἀλλὰ μάχεσθε παρ᾽ ἀλλήλοισι μένοντες,*
*μηδὲ φυγῆς αἰσχρῆς ἄρχετε μηδὲ φόβου,*
*ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,*
*μηδὲ φιλοψυχεῖτ᾽ ἀνδράσι μαρνάμενοι·*
*τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ᾽ ἐλαφρά,*
*μὴ καταλείποντες φεύγετε, τοὺς γεραιούς.*
*αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα*
*κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,*
*ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,*
*θυμὸν ἀποπνείοντ᾽ ἄλκιμον ἐν κονίῃ,*
*αἱματόεντ᾽ αἰδοῖα φίλησ᾽ ἐν χερσὶν ἔχοντα*
*(αἰσχρὰ τά γ᾽ ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)*
*καὶ χρόα γυμνωθέντα. νέοισι δὲ πάντ᾽ ἐπέοικεν,*
*ὄφρ᾽ ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·*
*ἀνδράσι μὲν θηητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶν*
*ζωὸς ἐών, καλὸς δ᾽ ἐν προμάχοισι πεσών.*
*ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν*
*στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.*

108 *Καλά γ᾽ ὦ ἄνδρες καὶ χρήσιμα τοῖς βουλομένοις προσέχειν. οὕτω τοίνυν εἶχον πρὸς ἀνδρείαν οἱ τούτων ἀκούοντες, ὥστε πρὸς τὴν πόλιν ἡμῶν περὶ τῆς ἡγεμονίας ἀμφισβητεῖν, εἰκότως· τὰ γὰρ κάλλιστα τῶν ἔργων ἀμφοτέροις*